# ΑΝΑΠΛΗΡΩΣΙΣ ΑΚΟΛΟΥΘΙΑΣ

ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

# ΕΥΣΤΑΘΙΟΥ

## ΚΑΙ ΤΗΣ ΣΥΝΟΔΕΙΑΣ ΑΥΤΟΥ

Ψαλλομένη τὴν 20 Σεπτεμβρίου

Ἐκδοθεῖσα

Ὑπὸ ΓΕΩΡΓΙΟΥ Α. ΒΟΥΤΕΡΗ

Ἱερέως καὶ ἐφημερίου τοῦ Ναοῦ Ὁσίου Μελετίου.

***Πρὸς εὐκολίαν τῶν ἑορταζόντων εὐσεβῶν καὶ φιλοθρήσκων Χριστιανῶν μετὰ πλείστης ἐπιμελείας καὶ ἀγάπης εἰς τὸν Ἅγιον.***

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ,

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

ΑΘΗΝΑΙ

1924

ΠΑΝΤΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΜΠΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

N. 88

81/2

## Τὴν 20 Σεπτεμβρίου τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος

# ΕΥΣΤΑΘΙΟΥ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακὸν στιχολογοῦμεν τὴν α' στάσιν τοῦ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ϛ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια τῆς ἑορτῆς τρία καὶ τοῦ Ἁγίου τρία.

Προσόμοια τῆς ἑορτῆς.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὄφιν, ἀνεστήλωσε χαλκοῦν, πάλαι Μωϋσῆς ὁ θεόπτης πρὸς τὴν ἀναίρεσιν, τῶν δακνόντων ὄφεων· αὐτὸς δὲ ὅλον σαυτὸν, ἐπὶ ξύλου ἀνύψωσας Σωτήρ μου ζωώσας, πάντας ἐν τῷ θείῳ σου καὶ ζωηφόρῳ Σταυρῷ· ὅς νῦν ἀνυψούμενος φλέγει, φάλαγγας δαιμόνων καὶ τρέπει τῶν βαρβάρων φῦλα καὶ φρυάγματα.

Σύ μου, τὸ φθαρτόν τε καὶ θνητόν, Σῶτερ ἐκ Παρθένου φορέσας, καὶ Θεομήτορος, ἄφθαρτον πέδειξας, καὶ πρὸς ζωὴν καὶ τρυφὴν ἀτελεύτην εἵλκυσας, πρὸς ἣν ἐπανάγεις, πάντας τοὺς νοῦντάς σε, Λόγε Χριστὲ ὁ Θεός, ὅπλον κραὸν ἐν πολέμοις, Δέσποτα τὸν θεῖον Σταυρόν, τῷ πιστῷ σου Ἄνακτι δωρούμενος!



Λάμψον, φῶς ἀπρόσιτον ἡμῖν· ἔργον γάρ ἐσμὲν τῶν χειρῶν σου, πάντες Χριστὲ ὁ Θεός, ὅπλῳ δὲ στεφάνωσον τοὺς εὐσεβεῖς βασιλεῖς νίκας τούτοις δωρούμενος κατὰ πολεμίων, τεῖχος καὶ ὀχύρωμα, ἰσχὺν καὶ ἄσυλον, ὄλβον, τὸν Σταυρὸν σου πλουτοῦσιν, Ὕψιστε ὁ ἄφθορον μήτραν, Σῶτερ ὑποδὺς τῆς Θεομήτορος.

Καὶ τῶν Ἁγίων

Ἦχος δ'. Ἔδωκας σημείωσιν.

Ἄνωθεν ἡ κλῆσίς σου, οὐκ ἀπ' ἀνθρώπων Εὐστάθιε· ἀλλ' αὐτός σοι ὀπτάνεται, Χριστὸς ὁ φιλάνθρωπος, καὶ ἀγρεύει μάκαρ, πίστεως δικτύοις· καὶ τῷ Βαπτίσματι αὐτοῦ, ἀποκαθάρας τὰς ἁμαρτίας σου, πρός βίου πειρατήριον, ὑπομονὴν σοι προτείνεται, ὁ Δεσπότης καὶ δείκνυσι, νικητὴν διαβόλου τον.

Χαίρων ἐν νεότητι, τῆς ἀρετῆς τὸ γυμνάσιον, ὑπεδέξω Εὐστάθιε, τῶν παίδων στερούμενος, καὶ τῆς σῆς συζύγου, τὴν αἰχμαλωσίαν, ὑπενεγκὼν καρτερικῶς, καὶ ὑπομείνας θητείαν ἄτιμον· ἀλλά σε παναοίδιμε, ἡ ἐν πολέμοις ἀνδρεία σου, ποθητὸν κατεστήσατο, καὶ λαμπρῶς ἐπανήγαγε.

Θεῖον ὡς θυμίαμα, διὰ πυρὸς εὐωδέστατον, καὶ τερπνὸν ὁλοκάρπωμα, θυσία εὐπρόσδεκτος, προσφορά τε ζῶσα, καὶ τελειοτάτη, σὺ προσηνέχθης τῷ Θεῷ, πανοικεσίᾳ καρποφορούμενος· διό σε ἡ οὐράνιος, νῦν κατοικία Εὐστάθιε, σὺν τοῖς σοῖς

εἰσεδέξατο, καὶ Ἁγίων στρατεύματα.

Δόξα, ἦχος β'. Ἐφραὶμ Καρίας.

Ὁ δεύτερος Ἰὼβ Εὐστάθιος, τὸν βίον τοὺς ἄθλους καὶ τοὺς στεφάνους, εἰς προτροπὴν ἀρετῶν ἑαυτὸν ἡμῖν προέθηκε, καὶ στήλην καρτερίας, ὑπερβὰς ἀληθῶς τὸν Ἰώβ, τῇ ἀρετῇ, σὺν τῇ συζύγῳ καὶ τοῖς τέκνοις· ὁ πιστὸς ἐν βίῳ καὶ ἀκράδαντος ἐν πειρασμοῖς, καὶ ἐν ἀθλήσει νικηφόρος· ὃν προσάξωμεν εἰς πρεσβείαν Χριστῷ, τοῦ δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν φωτισμόν, καὶ ἱλασμὸν τῶν πλημμελημάτων.

Καὶ νῦν. Ἦχος ὁ αὐτός.

Θεῖος θησαυρὸς ἐν γῇ κρυπτόμενος, τοῦ Ζωοδότου ὁ Σταυρός, ἐν οὐρανοῖς ἐδείκνυτο Βασιλεῖ εὐσεβεῖ, νίκης κατ' ἐχθρῶν ὑπογραμμὸν δηλῶν νοερόν· ὃν γεγηθὼς πίστει καὶ πόθῳ, θεόθεν ἀναδραμὼν πρὸς θεωρίας ὕψωσιν, σπουδῇ μεγίστῃ ἐκ γῆς λαγόνων ἀνέφηνεν, εἰς κόσμου λύτρον, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος. Τὸ φῶς ἱλαρόν,

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι, φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη,



μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Καθολικῆς Β' Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα.

Ἀγαπητοί, τοῦτον πρῶτον γινώσκοντες, ὅτι πᾶσα προφητεία γραφῆς, ἰδίας ἐπιλύσεως οὐ γίνεται· οὐ γὰρ θελήματι ἀνθρώπου ἠνέχθη ποτὲ προφητεία, ἀλλ' ὑπὸ πνεύματος Ἁγίου φερόμενοι, ἐλάλησαν οἱ Ἅγιοι Θεοῦ ἄνθρωποι· ἐγένοντο δὲ καὶ ψευδοπροφῆται ἐν τῷ λαῷ, ὡς καὶ ἐν ὑμῖν ἔσονται ψευδοδιδάσκαλοι· οἵτινες παρεισάξουσιν αἱρέσεις ἀπωλείας, καὶ τὸν ἀγοράσαντα αὐτοὺς Δεσπότην, ἀρνούμενοι, ἐπάγοντες ἑαυτοῖς ταχεινὴν ἀπώλειαν· καὶ πολλοὶ ἐξακολουθήσουσιν αὐτῶν ταῖς ἀπωλείαις, δι' οὓς ἡ ὁδὸς τῆς ἀληθείας βλασφημηθήσεται, καὶ ἐν πλεονεξίᾳ πλαστοῖς λόγοις, ὑμεῖς ἐκπορεύσονται· οἷς τὸ κρίμα ἔκπαλαι οὐκ ἀργεῖ, καὶ ἡ ἀπώλεια αὐτῶν οὐ νυστάζει· εἰ γὰρ ὁ Θεὸς Ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, ἀλλ' ὄγδοον Νῶε δικαιοσύνης κήρυκας ἐφύλαξεν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΛΗΡΟΔΟΤΗΜΑ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

κατακλυσμὸν κόσμον ἀσεβῶν ἐπάξας· καὶ πόλεις Σοδόμων καὶ Γομμόρων τεφρώσας καταστροφῇ κατέκρινεν, ὑπόδειγμα μελλόντων ἀσεβεῖν τεθεικώς· καὶ δίκαιον Λὼτ καταπονούμενον ὑπὸ τῆς τῶν ἀθέσμων ἐν ἀσελγείᾳ ἀναστροφῆς ἐρρύσατο, βλέμματι γὰρ καὶ ἀκοῇ ὁ δίκαιος ἐγκατοικῶν ἐν αὐτοῖς, ἡμέραν ἐξ ἡμέρας ψυχὴν δικαίαν, ἀνόμοις ἔργοις ἐβασάνιζον· οἶδε Κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ ρύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένοις τηρεῖν.

Προφητείας Ναοὺμ τὸ Ἀνάγνωσμα.

Κύριος μακρόθυμος καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ· καὶ ἀθῶον οὐκ ἐκδικῆσαι Κύριος, ἐν συντελείᾳ καὶ ἐν σεισμῷ ἡ ὁδὸς αὐτοῦ· καὶ νεφέλαι κονιορτὸς ποδῶν αὐτοῦ· ἀπειλῶν θαλάσσῃ καὶ ξηραίνων αὐτήν, καὶ πάντας τοὺς ποταμοὺς ἐξερημῶν· ἐλώφθη ἡ Βασανίτης καὶ ὁ Κάρμηλος· καὶ τὰ λοιπὰ ἐξανθοῦντα τοῦ Λιβάνου ἐξέλιπε· Τὰ ὄρη ἐσείσθησαν ἀπ' αὐτοῦ, καὶ οἱ βουνοὶ ἐσαλεύθησαν· καὶ ἀνεστάλη ἡ γῆ ἀπὸ προσώπου αὐτοῦ ἡ σύμπασα καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ· ἀπὸ προσώπου ὀργῆς αὐτοῦ τίς ὑποστήσεται; καὶ τίς ἀντιστήσεται ἐν ὀργῇ θυμοῦ αὐτοῦ; ὁ θυμὸς αὐτοῦ τήκει ἀρχὰς καὶ πέτραι διεθρύβησαν ἀπ' αὐτοῦ· τί λογίζεσθαι ἐπὶ Κύριον; καὶ συντέλειαν αὐτὸς ποιήσεται· οὐκ ἐκδικήσω δὶς ἐπὶ τῷ αὐτῷ ἐν θλίψει· τάδε λέγει Κύριος κατάρχων ὑδάτων



πολλῶν, καὶ οὕτω διασταλήσονται καὶ ἡ ἀκοή σου οὐκ εἰσακουσθήσεται ἔτι.

Τροπάριο τῆς Λιτῆς τοῦ Σταυροῦ ἦχ. β'.

Θεῖος θησαυρὸς ἐν γῇ κρυπτόμενος, τοῦ Ζωοδότου ὁ Σταυρός, ἐν οὐρανοῖς ἐδείκνυτο Βασιλεῖ εὐσεβεῖ, νίκης κατ' ἐχθρῶν ὑπογραμμὸν δηλῶν νοερόν· ὃν γεγηθὼς πίστει καὶ πόθῳ, θεόθεν ἀναδραμὼν πρὸς θεωρίας ὕψωσιν, σπουδῇ μεγίστῃ ἐκ γῆς λαγόνων ἀνέφηνεν, εἰς κόσμου λύτρον, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ'. Ἀνδρέου Πυροῦ.

**Τ**ίς μὴ μακαρίσει σου τὸν πανόλβιον τρόπον Εὐστάθιε; ὅτι γενναίως ὑπήνεγκας τοῦ ἀρχεκάκου ἐχθροῦ τὰς προσβολάς· τῆς γὰρ συζύγου καὶ τῶν τέκνων, τὴν στέρησιν οὐκ ἐδυσφόρησας, ἀλλ' ἐβόας τὴν εὐχάριστον φωνὴν τοῦ Ἰώβ. Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι πρὸς τὸν μόνον Δημιουργὸν καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ἦχος πλ. β'.

Ἀφθόρου τόκου Μαρίας, ὑπάρχων μάρτυς καταγώγιον, ἀλήκτως τε πέλων ἐν φωτὶ ἀΰλῳ, καὶ ἡμῖν εὐμενίζου Τριάδα τὴν ἄκτιστον.

Ἦχος πλ. δ'.

Τῷ ἀδύτῳ γνόφῳ εἰσδύς, καὶ τῷ τῆς δικαιοσύνης Ἡλίῳ οἰκειωθείς, τῇ ἐξ ὕψους νοητῶς φανείσῃ διὰ ζώου εἰκόνι, θείως προσψαύσας ἔμπνους

εἰκὼν ὑπῆρξας παμάκαρ Εὐστάθιε· ὅθεν τὴν ἐκ πνεύματος καὶ ὕδατος ἐσχηκὼς ἐνέργειαν, τῷ μαρτυρικῷ τε λουσάμενος αἵματι, ταῖς οὐρανίαις κατηξίωσαι συγχορεύειν τῶν ἀγγέλων ὁμηγύρεσιν· ἐν ᾧ καὶ ἡμᾶς προσοικείωσον τῷ Σωτῆρι Χριστῷ καὶ Θεῷ ἡμῶν.

Ὁ αὐτός.

Τὴν στρατοπεδαρχίαν τῆς κάτω βασιλείας ἀποβαλόμενος, καὶ διὰ ζώου ὀφθέντος σοι ἐν εἰκόνι, τοῦ Σωτῆρος ἡμῶν γενόμενος ἐραστής, νῦν συγχορεύεις τοῖς ἄνω, σὺν γυναικί σου καὶ τέκνοις, παμάκαρ Εὐστάθιε· διὸ δυσωποῦμέν σε, τῷ Κυρίῳ πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος α΄.

Τὰ τῶν ἀγγέλων στρατεύματα, σήμερον χορεύουσιν ἐπὶ τῇ μνήμῃ τοῦ μάρτυρος Εὐσταθίου, καὶ τῶν ἀνθρώπων τὸ γένος πιστῶς πανηγυρίζει καὶ χαρμονικῶς ἐκβοᾷ. Χαίροις πανεύφημε, ὁ τοῦ πολυπλόκου Βελίαρ τὰ ἔνεδρα τροπωσάμενος καὶ τῆς νίκης τὸν στέφανον παρὰ Χριστοῦ ἀναδυσάμενος. Χαίροις στρατιῶτα τοῦ μεγάλου Βασιλέως καὶ Σωτῆρος ἡμῶν, ὁ δι᾽ αὐτὸν τὴν πρόσκαιρον δόξαν καὶ τὴν ζωήν, μετὰ τῆς συνοδείας σου, εἰς οὐδὲν λογισάμενος. Χαίροις μαρτύρων ἐγκαλλώπισμα· πρέσβευε λυτρωθῆναι ἀπὸ πάσης ἀνάγκης τοὺς ἐν πίστει ἐκτελοῦντας τὴν ἀεισέβαστον μνήμην σου.



Καὶ νῦν. Ὁ αὐτός.

Σήμερον ὡς ἀληθῶς, ἡ ἁγιόφθογγος ῥῆσις τοῦ Δαυὶδ πέρας εἴληφεν· ἰδοὺ γὰρ ἐμφανῶς, τὸ τῶν ἀχράντων ποδῶν σου προσκυνοῦμεν ὑποπόδιον· καὶ ἐν τῇ τῶν πτερύγων σου ἐλπίζοντες σκιᾷ πανοικτίρμων βοῶμέν σοι. Σημειωθήτω ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, καὶ ἀνύψωσον τοῦ ὀρθοδόξου λαοῦ σου τὸ κέρας, τῇ τοῦ τιμίου Σταυροῦ σου ἀνυψώσει, Χριστὲ πολυέλεε.

Εἰς τὸν στίχον, στιχηρὰ προσόμοια.

Ἦχος α΄. Πανεύφημοι μάρτυρες ἡμᾶς.

Πανεύφημε μάρτυς τοῦ Χριστοῦ, ἀθλητὰ Εὐστάθιε, τὴν ἱεράν σου καὶ πάνσεπτον, μάκαρ, πανήγυριν τοὺς ἐπιτελοῦντας, σὺν τῇ ὁμοζύγῳ σου καὶ τέκνοις, τῷ Θεῷ παριστάμενος, αὐτὸν ἱκέτευε τῶν κινδύνων ἐκλυτρώσασθαι καὶ πταισμάτων τὴν λύσιν δωρήσασθαι.

Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Τοῦ κόσμου κατέλιπες τερπνά, μάρτυς ἀξιάγαστε, πλοῦτον καὶ δόξαν ἐπίκαιρον, τέκνων τε στέρησιν καὶ τῆς ὁμοζύγου ἀνδρικῶς ὑπέφερες, φωνήν τε τοῦ Ἰὼβ ἐξεβόησας, Κύριος ἔδωκε καὶ ὁ Κύριος ἀφείλετο, ὃν δυσώπει ὑπὲρ τῶν ὑμνούντων σε.

Στίχος. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ ἐθαυμάστωσεν.

Θυσίαν προσήγαγες Θεῷ σεαυτὸν δι᾽ αἵματος, μεγαλομάρτυς Εὐστάθιε, δι᾽ ὃ καὶ γέγονας κοι-

νωνὸς τῆς δόξης αὐτοῦ, ἀοίδημε, τὸ στέφος εἰληφὼς τῶν ἀγώνων σου· ὃν καθικέτευε δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Δόξα ἦχος πλ. β΄. Ἐφραὶμ Καρίας.

Ἀδαμάντινε τὴν ψυχήν, πῶς σε κατ' ἀξίαν ἐπαινέσωμεν; τὴν γὰρ φύσιν ὑπερέβης· χρημάτων καὶ παίδων, καὶ τῆς συμβίου στερούμενος, τὴν μακαρίαν ἐκείνην καὶ ἀοίδιμον φωνὴν τοῦ Ἰὼβ ἐξεβόησας. Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. Ἀλλ' ὃν ἠγάπησας Θεόν, καὶ ὃν θερμῶς ἐπεπόθησας, πάλιν σοι τοὺς φιλτάτους ἐδωρήσατο, συναθλητὰς γενέσθαι σοι προμηθευσάμενος· μεθ' ὧν διὰ ποικίλων βασάνων τὸ μακάριον τέλος διήνυσας. Αὐτοὺς καὶ συμπρεσβευτάς σου λαβόμενος καρτερόψυχε Εὐστάθιε, δυσώπησον λυτρωθῆναι ἡμᾶς, τῶν ἀνομιῶν ἡμῶν.

Καὶ νῦν, ὁ αὐτός.

Σήμερον προέρχεται ὁ Σταυρὸς τοῦ Κυρίου, καὶ πιστοὶ εἰσδέχονται αὐτὸν ἐκ πόθου καὶ λαμβάνουσιν ἰάματα ψυχῆς τε καὶ σώματος καὶ πάσης μαλακίας. Αὐτὸν ἀσπασώμεθα, τῇ χαρᾷ καὶ τῷ φόβῳ· φόβῳ διὰ τὴν ἁμαρτίαν ὡς ἀνάξιοι ὄντες· χαρᾷ δὲ διὰ τὴν σωτηρίαν, ἣν παρέχει τῷ κόσμῳ· ὁ ἐν αὐτῷ προσπαγεὶς Χριστὸς ὁ Κύριος ὁ ἔχων τὸ μέγα ἔλεος.



## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸ Θεὸς Κύριος, τὸ ἀπολυτίκιον. Ὅρα σελ. 23.

Μετὰ τὴν Α΄ στιχολογίαν, Κάθισμα. Ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Τὴν μνήμην τὴν φαιδρὰν Εὐσταθίου τοῦ θείου συνδράμωμεν πιστοί, ἑορτάσαι ἐν ὕμνοις καὶ νοῦν ἐκκαθάραντες πρὸς αὐτὸν ἀναβοήσωμεν πίστει κράζοντες, μεγαλομάρτυς Κυρίου, ταῖς πρεσβείαις σου, πταισμάτων λύσιν παράσχου, καὶ ῥῦσαι κολάσεως.

Δόξα τὸ αὐτό. Καὶ νῦν τῆς ἑορτῆς. Ἦχος α΄.

Τοῦ Σταυροῦ σου τὸ ξύλον προσκυνοῦμεν φιλάνθρωπε, ὅτι ἐν αὐτῷ προσηλώθης ἡ ζωὴ τῶν ἁπάντων, παράδεισον ἠνέῳξας Σωτήρ, τῷ πίστει προσελθόντι σοι λῃστῇ καὶ τρυφῆς κατηξιώθη, ὁμολογῶν σοι, μνήσθητί μου Κύριε, δέξαι ὥσπερ ἐκεῖνον καὶ ἡμᾶς, κραυγάζοντας ἡμάρτομεν πάντες τῇ εὐσπλαγχνίᾳ σου, μὴ ὑπερίδῃς ἡμᾶς.

Μετὰ τὴν Β΄ στιχολογίαν, Κάθισμα. Ἦχος δ΄.

Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγησαν τὴν σήν, στίφη ἀγγέλων ἀθλητά, καρτερίαν τὴν πολλήν, ἣν ἐπεδείξω ἐν δεινοῖς· ὥσπερ γὰρ ἄλλου πάσχοντος διέκεισο, Χριστὸν τὸν σὸν Δεσπότην μιμούμενος καὶ θήρας νοητοὺς τροπωσάμενος καὶ οὐρανόθεν ἔνδοξε τὸ στέφος, τῶν σῶν ἀγώνων δεξάμενος, σῶζε τοὺς πίστει ἐπιτελοῦντας τὴν σεβάσμιον μνήμην σου.

Δόξα τὸ αὐτό. Καὶ νῦν τῆς ἑορτῆς.

Ταχὺ προκατάλαβε.

Ταχὺ προκατάλαβε, πρὶν δουλωθῆναι ἡμᾶς, ἐχθροῖς βλασφημοῦσί σε καὶ ἀπειλοῦσιν ἡμῖν. Χριστὲ ὁ Θεὸς ἡμῶν, ἄνελε τῷ Σταυρῷ σου, τοὺς ἡμᾶς πολεμοῦντας, γνώτωσαν πῶς ἰσχύει, ὀρθοδόξων ἡ πίστις, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος δ'.

Ἐπεφάνη σήμερον.

Ἑορτάζει σήμερον, πιστῶν χορεία, τὴν γενναίαν ἄθλησιν, τοῦ Εὐσταθίου τοῦ σεπτοῦ, μεγαλοφώνως κραυγάζουσα, σῶζε τοὺς δούλους, κινδύνων καὶ θλίψεων.

Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον.

Θεομῆτορ Δέσποινα, Ἄφθορε κόρη, ἡ θερμὴ ἀντίληψις τῶν πεποιθότων ἐπὶ σέ, ἀπὸ κινδύνων ῥῦσαι ἡμᾶς, ταῖς Εὐσταθίου λιταῖς, ὦ Πανάχραντε.

Οἱ Ἀναβαθμοί, τὸ Α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον ἦχος δ',

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡς ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται. Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ. Τὸ πᾶσα πνοή. Τὸ Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος· Πάντα ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ἡμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· οὗτος γάρ ἐστιν ὁ νόμος καὶ



οἱ προφῆται. Εἰσέλθετε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδός, ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς. Ὅτι στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδός, ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς, μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλήν, ἢ ἀπὸ τριβόλων σῦκα; Οὕτω πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ· τὸ δὲ πονηρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ, οὐδὲν δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖ. Πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. Ἄραγε ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Οὐ πᾶς ὁ λέγων μοι Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς.

Δόξα Ταῖς τοῦ ἀθλοφόρου Καὶ νῦν ταῖς τῆς Θεοτόκου

Εἶτα τὸ παρὸν Ἰδεόμελον. Ἦχος β'.

Ὁ δεύτερος Ἰὼβ Εὐστάθιος, τῷ βίῳ τοὺς ἄθλους καὶ τοὺς στεφάνους, εἰς προτροπὴν ἀρετῶν ἑαυτὸν ἡμῖν προέθηκε καὶ στήλην καρτερίας ὑπερβὰς ἀληθῶς, τὸν Ἰὼβ τῇ ἀρετῇ τῇ συζύγῳ

καὶ τοῖς τέκνοις, ὁ πιστὸς ἐν βίῳ καὶ ἀκράδαντος ἐν τοῖς πειρασμοῖς, καὶ ἐν ἀθλήσει νικηφόρος· ὃν προσάξωμεν εἰς πρεσβείαν Χριστῷ, τοῦ δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, φωτισμὸν καὶ ἱλασμῶν τῶν πλημμελημάτων.

Τὸ σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Ὁ Κανὼν τῆς ἑορτῆς καὶ τῶν Ἁγίων ζήτει εἰς τὸ μην.

Τὴν 20 Σεπτεμβρίου. Τοῦ Ἁγίου Μεγαλομάρτυρος Εὐσταθίου, καὶ τῆς συζύγου αὐτοῦ Θεοπίστης καὶ τῶν τέκνων αὐτοῦ Ἀγαπίου καὶ Θεοπίστου.

Τῇ αὐτῇ ἡμέρᾳ. Τῶν Ἁγίων Πατέρων ἡμῶν καὶ Ὁμολογητῶν Ὑπατίου Ἐπισκόπου καὶ Ἀνδρέου Πρεσβυτέρου.

Τοῦ Ἁγίου Μάρτυρος Μαρίνου Πάπα Ῥώμης, Μαξίμου καὶ τῶν σὺν αὐτοῖς.

Τῶν Ἁγίων Μαρτύρων Ἀρτεμιδώρου καὶ Θαλοῦ.

Τοῦ ὁσίου Πατρὸς ἡμῶν Μελετίου. Ἐπ. Κύπρου.

Τοῦ Ὁμολογητοῦ Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Αἰγυπτίου.

Τοῦ Ἁγίου νέου Ὁσιομάρτυρος Ἱλαρίωνος τοῦ Κρητὸς μαρτυρήσαντος ἐν Κωνσταντινουπόλει τῷ 1804 ξίφει τελειοῦται.

Ταῖς τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου Μεγαλομάρτυρος Εὐσταθίου καὶ τῶν σὺν αὐτῷ καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

ΚΑΤΑΒΑΣΙΑΙ

Τοῦ Σταυροῦ εἰς ἦχον πλ. δ'. Ὠδὴ α'.

Σταυρὸν χαράξας Μωσῆς ἐπ' εὐθείας ῥάβδῳ, τὴν Ἐρυθρὰν διέτεμε τῷ Ἰσραὴλ πεζεύσαντι



τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι, κροτήσας ἥνωσεν, ἐπ' εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον· διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται. Ὠδὴ γ'.

Ῥάβδος εἰς τύπον τοῦ Μυστηρίου παραλαμβάνεται· τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα· τῇ στειρευούσῃ δὲ πρῴην ἐκκλησίᾳ νῦν ἐξήνθησε ξύλον Σταυροῦ, εἰς κράτος καὶ στερέωμα.

Ὠδὴ δ'.

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου καὶ ἐδόξασά σου τὴν θεότητα. Ὠδὴ ε'.

Ὢ τρισμακάριστον Ξύλον, ἐν ᾧ ἐτάθη Χριστός, ὁ Βασιλεὺς καὶ Κύριος· δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τὸν ἐν σοὶ δελεασθείς, Θεῷ τῷ προσαγέντι σαρκί, τῷ παρέχοντι τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν. Ὠδὴ στ'.

Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος προδιετύπου σαφῶς· ὅθεν τριήμερος ἐκδύς, τὴν ὑπερκόσμιον Ἀνάστασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ καὶ τριημέρῳ ἐγέρσει, τὸν Κόσμον φωτίσαντος.

Ὠδὴ ζ'.

Ἔκνοον πρόσταγμα τυράννου δυσσεβοῦς, λαοὺς ἐκλόνησε, πνέον ἀπειλῆς, καὶ δυσφημίας θεοστυγοῦς· ὅμως τρεῖς Παῖδας οὐκ ἐδειμάτωσε, θυμὸς

ΕΛΛΗΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

θηριώδης, οὐ πῦρ βρόμιον, ἀλλ᾽ ἀντηχοῦντι δροσοβόλῳ πνεύματι, πυρὶ συνόντες ἔψαλλον. Ὁ ὑπερύμνητος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄.

Αἰνοῦμεν εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Εὐλογεῖτε παῖδες τῆς Τριάδος ἰσάριθμον, δημιουργὸν Πατέρα Θεόν· ὑμνεῖτε τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα· καὶ ὑπερυψοῦτε τὸν πᾶσι ζωὴν παρέχον, Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας.

Ὠδὴ Θ΄. Καταβασίαι.

Μυστικῶς, ὦ Θεοτόκε Παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν, ὑφ᾽ οὗ τὸ τοῦ Σταυροῦ, ζωηφόρον ἐν γῇ, πεφυτούργηται δένδρον, δι᾽ οὗ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτόν, σὲ μεγαλύνομεν.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ

Γυναῖκες ἀκουτίσθητε.

Τὴν δόξαν τὴν ἀθάνατον καὶ τὴν ζωὴν τὴν ἄληκτον, ἀπήλαυσας πανένδοξε, Εὐστάθιε εἰς αἰῶνας, μετὰ τῶν θείων παίδων σου καὶ γυναικὸς θεόφρονος, καταλιπὼν εὐφρόσυνα. Ὅθεν γεραίρομεν πάντες, τὴν σὴν πανίερον μνήμην.

Καὶ τῆς Ἑορτῆς.

Σταυρὸς ὑψοῦται σήμερον καὶ κόσμος ἁγιάζεται· ὁ γὰρ Πατρὶ συνεδρεύων, καὶ Πνεύματι τῷ Ἁγίῳ, ἐν τούτῳ χεῖρας ἁπλώσας, τὸν κόσμον



ὅλον εἵλκυσας πρὸς τὴν Χριστοῦ ἐπίγνωσιν· τοὺς οὖν εἰς σὲ πεποιθότας, θείας ἀξίωσον δόξης.

**Εἰς τοὺς Αἴνους.**

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Οἱ ἐρασταὶ τῶν Μαρτύρων, δεῦτε συνδράμετε, καὶ τὴν σεπτὴν εἰκόνα κατασπάσασθε πάντες τοῦ θείου Εὐσταθίου, πηγάζει γὰρ τοῖς νοσοῦσιν ἰάματα καὶ ἐκ παντοίων κινδύνων καὶ πειρασμῶν, ἐκλυτροῦται καὶ κολάσεως.

Οὔτε συζύγου ὁ πόθος, οὔτε τῶν τέκνων στοργή, οὐ κηδεστοῦ ἀξία, οὔτε περιουσία κτημάτων ἢ χρημάτων σοῦ τὸ στερρὸν τῆς ψυχῆς παρεσάλευσαν, ἀπὸ τῆς πίστεως ὄντως τῆς εἰς Χριστόν, παμμακάριστε Εὐστάθιε.

Οὐκ ἐξ ἀνθρώπων τὴν κλῆσιν Μάρτυς Εὐστάθιε, ἀλλ᾽ ἄνωθεν ἐδέξω τοῦ Χριστοῦ σοι ὀφθέντος, ἐν σχήματι ἐλάφου, καὶ ὡς ποτὲ Παῦλον θεῖον καλέσαντος καὶ κοινωνὸν Βασιλείας τῆς ἑαυτοῦ κατ᾽ ἀξίαν ἀναδείξαντος.

Τῷ τοῦ Δεσπότου προστάγματι ἰθυνόμενος, καὶ καθωραϊσμένος, αἵμασι μαρτυρίου, Εὐστάθιε Παμμάκαρ, τῶν πειρασμῶν, τρικυμίας ὑπήνεγκας· ὅθεν καὶ νῦν συναγάλλῃ ἐν Οὐρανοῖς, τῇ συζύγῳ καὶ τοῖς τέκνοις σου. Δόξα. Ἦχος πλ. δ΄.

Ὥσπερ Παῦλος τὴν κλῆσιν, οὐκ ἐξ ἀνθρώπων δεξάμενος, Μάρτυς Εὐστάθιε, καὶ αὐξάνων ἐν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ

Θεῷ τῇ τοῦ Σταυροῦ πεποιθήσει, τῶν τυράννων τὸ δυσσεβές, καὶ τῶν βασάνων τὸ ἀπηνές, ἀνδρείως κατῄσχυνας· διὸ καὶ μέχρις αἵματος ἀντικατέστης πρὸς τὴν ἁμαρτίαν, πρὸς ἀοράτους ἐχθροὺς ἀνταγωνισάμενος· καὶ πρεσβεύεις ἀπαύστως τῷ Βασιλεῖ καὶ Θεῷ, δωρηθῆναι τῇ οἰκουμένῃ εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν, ὁ αὐτός.

Ἡ φωνὴ τοῦ Προφήτου σου Μωϋσέως ὁ Θεός, πεπλήρωται ἡ λέγουσα. Ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην, ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν. Σήμερον Σταυρὸς ὑψοῦται, καὶ κόσμος ἐκ πλάνης ἠλευθέρωται. Σήμερον τοῦ Χριστοῦ ἡ ἀνάστασις ἐγκαινίζεται, καὶ τὰ πέρατα τῆς γῆς ἀγάλλονται ἐν κυμβάλοις Δαυϊτικοῖς ὕμνον σοι προσφέροντα, καὶ λέγοντα. Εἰργάσω σωτηρίαν ἐν μέσῳ τῆς γῆς ὁ Θεός, Σταυρὸν καὶ τὴν ἀνάστασιν· δι' ὧν ἡμᾶς ἔσωσας, ἀγαθὲ καὶ φιλάνθρωπε, Παντοδύναμε Κύριε, δόξα σοι.

Δοξολογία μεγάλη.

Ἀπόστολος. Προκείμενον, ἦχος δ'.

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Προωρώμην τὸν Κύριόν μου διὰ παντός.

Πρὸς Κολασσαεῖς Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοί, πᾶν ὅ,τι ἂν ποιῆτε, ἐν λόγῳ ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι Κυρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ Θεῷ καὶ Πατρὶ δι' αὐτοῦ. Αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς ἰδίοις ἀνδράσιν, ὡς ἀνῆκεν,



ἐν Κυρίῳ. Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς. Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα· τοῦτο γάρ ἐστιν εὐάρεστον τῷ Κυρίῳ. Οἱ πατέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν. Οἱ δοῦλοι, ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις μὴ ἐν ὀφθαλμοδουλείαις ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν Θεόν· καὶ πᾶν ὅ,τι ἐὰν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις, εἰδότες ὅτι ἀπὸ Κυρίου ἀπολήψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας· τῷ γὰρ Κυρίῳ Χριστῷ δουλεύετε. Ὁ δὲ ἀδικῶν κομιεῖται ὃ ἠδίκησε· καὶ οὐκ ἔστι προσωποληψία. Οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχεσθε, εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε Κύριον ἐν οὐρανοῖς.

Εὐαγγέλιον τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ Κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν· εἰ ἐκ τοῦ Κόσμου ἦτε, ὁ Κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ Κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ Κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ Κόσμος. Μνημονεύετε τοῦ λόγου, οὗ ἐγὼ εἶπα ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ Κυρίου αὐτοῦ· οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος

αὐτὸν· εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με, Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν· ὁ ἐμὲ μισῶν, καὶ τὸν πατέρα μου μισεῖ, εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑοράκασι καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν Πατέρα μου· ἀλλ᾽ ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ Νόμῳ αὐτῶν· ὅτι ἐμίσησάν με δωρεάν· ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ, καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ᾽ ἀρχῆς μετ᾽ ἐμοῦ ἐστε. Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. Ἀποσυναγώγους ποιήσωμεν ὑμᾶς, ἀλλ᾽ ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

## Πολυέλαιος

***Εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα Εὐστάθιον.***

Καὶ δύναμις. Ἀλληλούϊα,

Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις.

Βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα.



Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν.

Καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.

Ὁ Θεός, τίς ὁμοιωθήσεταί σοι; μὴ σιγήσῃς μηδὲ καταπραΰνῃς, ὁ Θεός.

Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν.

Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην

Καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου.

Ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ.

Τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς.

Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ.

Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν.

Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.

Ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν.

Καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς.

Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς.

Ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου ὠνείδιζόν με οἱ ἐχθροί μου.

Καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν

Καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν.

Ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον.

Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα.

Ἔθου θλίψεις ἐπὶ τῶν νώτων ἡμῶν.

Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.

Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι.

Ὅτι Κύριος ἐν γενεᾷ δικαίων, καὶ ἡ κληρονομία αὐτῶν εἰς αἰῶνα ἔσται

Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.

Ὅτι δίκαιος Κύριος, καὶ δικαιοσύνας ἠγάπησεν.

Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ἐρρύσατο αὐτοὺς ὁ Κύριος.

Τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται.

Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίου.

Φῶς ἀνέτειλε τῷ δικαίῳ καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη.

Εὐφράνθητε, δίκαιοι, ἐν τῷ Κυρίῳ.

Καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.

Ἀγαλλιᾶσθε δίκαιοι, ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.



Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτόν.

Καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

Τὸν Πατέρα προσκυνήσωμεν, καὶ τὸν Υἱὸν δοξολογήσωμεν, καὶ τὸ Πανάγιον ὁμοῦ, πάντες Πνεῦμα ἀνυμνήσωμεν, κράζοντες καὶ λέγοντες· Παναγία Τριάς, σῶσον πάντας ἡμᾶς.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν Μητέρα σου προσάγει σοι, εἰς ἱκεσίαν ὁ λαός σου Χριστέ· καὶ παρακλήσεσιν αὐτῆς τοὺς οἰκτιρμούς σου. δὸς ἡμῖν Ἀγαθέ· ἵνα σὲ δοξάζωμεν, τὸν ἐκ τάφου ἡμῖν ἀνατείλαντα.

Ἀπολυτίκιον Ἁγίου Εὐσταθίου. Ἦχος Α΄.

Ἐν μέσῳ τῆς ἐλάφου, τὸν Σταυρὸν θεασάμενος, μεγαλώνυμε Μάρτυς, ὦ Εὐστάθιε ἔνδοξε, ἐδέχθης τὴν πίστιν τοῦ Χριστοῦ, καὶ τοῦτον κηρύξας ὡς Θεόν, καρτερῶν μετὰ συνεύνου καὶ τῶν τέκνων σου ἤθλησας. Δόξα τῷ σὲ ἐνισχύσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἀναδείξαντι λαμπρῶς Ἰὼβ τὸν δεύτερον.

Ἀπολυτίκιον τοῦ Σταυροῦ. Ἦχος Α΄.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸν σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Κοντάκιον, ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὰ πάθη Χριστοῦ παμμάκαρ μιμησάμενος, καὶ τοῦτο πιὼν προθύμως τὸ ποτήριον, κοινωνὸς Εὐστάθιε, καὶ τῆς δόξης σύγκληρος γέγονας, παρ' αὐτοῦ τοῦ πάντων Θεοῦ, λαμβάνων ἐξ ὕψους θείαν δύναμιν.

Κοντάκιον τοῦ Σταυροῦ. Ἦχος Δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι Χριστὲ ὁ Θεός· εὔφρανον ἐν τῇ δυνάμει σου τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοὺς κατὰ τῶν πολεμίων· τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

**Μεγαλυνάρια.**

Τὸν μέγαν ὁπλίτην καὶ ἀθλητήν, τὸν στεφανηφόρον καὶ ἐν Μάρτυσι θαυμαστόν, τὸν ὑπὸ τοῦ Κτίστου, πάντα καταλιπόντα, Εὐστάθιον τὸν μέγαν πάντες τιμήσωμεν.

Τὸν ἐν ἀθλοφόροις θαυματουργόν, καὶ τὸν ἐν ἀνάγκαις ἀπροσμάχητον βοηθόν, τὸν θεῖον ὁπλίτην καὶ Μάρτυρα Κυρίου, Εὐστάθιον τὸν μέγαν, πάντες τιμήσωμεν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ Η. ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑ



**Ὁμιλία εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα Εὐστάθιον μετὰ τῆς συνοδείας αὐτοῦ.**

Οὗτος ὁ ἔνδοξος καὶ μεγαλομάρτυς τοῦ Χριστοῦ Εὐστάθιος, ἦτο στρατηλάτης ἐν Ρώμῃ τοῦ βασιλέως Τραϊανοῦ ἐν ἔτει 100, ἐγνωρίζετο ὡς πλέον περιβόητος καὶ εἰς τὴν ἀρετὴν καὶ εἰς τοὺς τρόπους καὶ εἰς τὴν γνώμην ἀπὸ τοὺς ἄλλους. Ἠγάπα πολὺ τοὺς πτωχοὺς καὶ τοὺς πάσχοντας ἀδελφούς· ἔδιδε πλουσιοπαρόχως ἐλεημοσύνην, ἐκαλεῖτο πρότερον Πλακίδας, ἡ δὲ σύζυγός του Τατιανή.

Οὗτος λοιπὸν ὁ ἠγαπημένος ἅγιος ἠπατήθη ἀπὸ τὴν πλάνην τῶν εἰδώλων καὶ εὑρίσκετο εἰς τὸ σκότος, ἀλλ' ὁ Πανάγαθος Θεὸς δὲν ἤθελε ποτὲ ἀφήσει τὸν γνήσιον δοῦλόν του νὰ λατρεύῃ τοὺς ἀψύχους Θεούς, ὡς καὶ ὁ Ἀπόστολος Παῦλος. Καὶ μίαν ἡμέραν εὑρισκόμενος εἰς μέγα δάσος κυνηγῶν μίαν ἔλαφον, πρὶν τὴν πλησιάσῃ βλέπει, ὢ τοῦ θαύματος τοῦ Κυρίου, εἰς τὰ δύο κέρατα τῆς ἐλάφου ἱστάμενον τὸν τίμιον Σταυρὸν ὅστις ἔλαμπεν ὑπὲρ τὸν ἥλιον. Καὶ ἐν τῷ μεταξὺ βλέπει ὀφθαλμοφανῶς τὸν Κύριον, ἀκούων φωνὴν λέγουσα: Πλακίδα τί μὲ διώκεις; ἐγὼ εἰμὶ ὁ Χριστός.

Καὶ οὕτω ὁ μακάριος διδάσκεται τὴν εὐσέβειαν, βαπτίζεται μὲ ὅλον τὸ οἶκόν του καὶ ἀντὶ Πλακίδας μετωνομάσθη Εὐστάθιος, ἡ δὲ γυνὴ

του ἀντὶ Τατιανὴ μετωνομάσθη Θεοπίστη, τὰ δὲ δύο τέκνα των ὁ εἷς Ἀγάπιος, ὁ δὲ ἕτερος Θεόπιστος.

Μετὰ ταῦτα ἐλθὼν ὁ πρώην εἰδωλολάτρης Εὐστάθιος εἰς τὴν ἀληθινὴν ζῶσαν θρησκείαν, διδάσκεται ἀπὸ τὸν φανέντα Χριστὸν τὰ ὅσα ἔμελλε νὰ πάθῃ ὡς ὁ Ἰὼβ ἀπὸ τὸν διάβολον. Ἀνεχώρησεν ἀπὸ τὴν πατρίδα του μὲ ὅλην του τὴν οἰκογένειαν, ἐστερήθη τὴν σύζυγόν του ἐν τῷ ταξειδίῳ ἀπὸ τὸν βάρβαρον πλοίαρχον καὶ ἄγριον ἄνθρωπον, τὰ δὲ 2 τέκνα του τὰ ἥρπασαν δύο θηρία, ὅταν διήρχετο τὸν ποταμόν, ἀλλὰ ἡ θεία Πρόνοια τοὺς ἐφύλαξεν ὅλους ἀβλαβεῖς.

Ὁ δὲ Ἅγιος Εὐστάθιος μὴ γνωρίζων τὰ τρέχοντα, ἐλθὼν εἴς τινα πόλιν εἰργάζετο μὲ μισθὸν ζῶν βίον ἐργατικόν, ὁ πρώην πλούσιος ἀξιωματικός, ταύτην τὴν συμφορὰν ὑπέφερε γενναίως ὁ ἀδαμάντινος δοξάζων τὸν Θεόν.

Κατὰ τὴν ἐποχὴν ἐκείνην ἐκίνησε πόλεμον ὁ Βασιλεὺς καὶ ἐζητεῖτο ὁ μέγας Εὐστάθιος, διότι ἐκεῖνος ἦτο ὁ μόνος ὅπου ἠδύνατο νὰ τὸν βοηθήσῃ εἰς τὸν βαρβαρικὸν πόλεμον, διότι εἶχε κάμει πολλὰς ἀνδραγαθίας καὶ νίκας εἰς πολλοὺς πολέμους.

Λοιπὸν ἔγεινε μεγάλη ἔρευνα εἰς πᾶσαν τὴν ὑφήλιον διὰ νὰ εὑρεθῇ ὁ Ἅγιος Εὐστάθιος, καὶ ἔστειλε ὁ Βασιλεὺς στρατὸν καὶ λαὸν ζητοῦντες



τὸν καλὸν πολεμιστὴν μὲ βασιλικὰ ἔξοδα, μετὰ μεγάλης πομπῆς καὶ παρατάξεως νὰ εἰσέλθῃ εἰς τὰ ἀνάκτορα τοῦ Βασιλέως, ὅπου καὶ ἂν εὑρίσκεται, εἰς ὁποίαν κατάστασιν καὶ ἂν εἶναι.

Ὅθεν εὑρεθεὶς ὁ Ἅγιος ὑπηρετῶν ὡς ὑπηρέτης εἰς κτήματα λεγόμενος Δραγάτης παρουσιάσθη μόνος του εἰς τοὺς ἀπεσταλμένους τοὺς ἐφίλευσε πλουσιοπαρόχως καὶ εἰσῆλθεν εἰς τὸν Βασιλέα μετὰ μεγάλης ὑποδοχῆς καὶ παρατάξεως. Ὅπου ὁ Βασιλεὺς ἐχάρη μεγάλως καὶ τοῦ ἔδωσε καὶ μεγάλον ἀξίωμα, καὶ τὸν ἔστειλε μετὰ στρατοῦ ἐναντίον τῶν βαρβάρων, ὅπου ἡ παρουσία του τοὺς ἐνίκησε κατὰ κράτος.

Ἐπανερχόμενος ἐκ τοῦ πολέμου εἰς τὴν Ρώμην θεϊκὴ οἰκονομία τοῦ Παναγάθου Θεοῦ εὗρε τὴν γυναῖκα του καὶ τὰ δύο τέκνα του καὶ ἐδόξασαν τὸν Κύριον διὰ τὸ παράδοξον θαῦμα ὅπου ἔγεινε εἰς αὐτούς.

Ἀφοῦ ἔλαβε μεγάλας δωρεὰς διὰ τὴν νίκην ὅπου ἔκαμε ἐν ἔτει 117, τὸν παρακινεῖ ὁ βασιλεὺς Ἀδριανὸς νὰ προσφέρουν θυσίαν διὰ τὴν μεγάλην νίκην νὰ εὐχαριστήσουν τοὺς ψευδωνύμους Θεούς των. Ὁ δὲ Ἅγιος ἔλεγεν ὅτι ἡ νίκη ἐπέτυχε μὲ τὴν δύναμιν τοῦ Χριστοῦ καὶ ὄχι μὲ τὴν δύναμιν τῶν ψευδωνύμων Θεῶν. Ὅθεν ἐκίνησε τὸν τύραννον εἰς θυμὸν καὶ πρῶτον στερεῖται τοῦ ἀξιώματος τοῦ Στρατηλάτου, ἔπειτα τὸ

ρίπτουν εἰς τοὺς λέοντας διὰ νὰ τὸν φάγουν ὁμοῦ μὲ τὴν γυναῖκά του καὶ τὰ τέκνα του, ἔπειτα τοὺς βάζουν εἰς βοῦν χάλκινον πεπυρακτωμένον καὶ ἄλλα πολλὰ βασανιστήρια τοὺς ἔκαμαν ὅπου δὲν ἀριθμοῦνται. Ὅρα εἰς τὸν Θησαυρὸν Δαμασκηνοῦ, ὅπου ἔχει τὸν κατὰ πλάτος βίον των ὁ ὁποῖος εἶναι τόσον συγκινητικός, ὅπου εἶναι ἀδύνατον νὰ μελετήσῃ κανεὶς τὸν βίον τοῦ Ἁγίου Εὐσταθίου καὶ νὰ μὴ συγκινηθῇ εἰς στεναγμοὺς καὶ ἀπαρηγόρητα δάκρυα. Ὅπου μὲ ὅλα αὐτὰ τὰ ὑπεράνθρωπα καὶ φρικτὰ βασανιστήρια παρεδόθησαν αἱ ἱεραὶ αὐτῶν ψυχαὶ εἰς χεῖρας Θεοῦ, τὰ δὲ ἅγια αὐτῶν σώματα διεφυλάχθησαν ἀβλαβῆ ἐκ τοῦ πυρὸς πρὸς ἔκπληξιν καὶ ἀγάπην εἰς τὴν ὀρθόδοξον πίστιν τοῦ Χριστοῦ, οἱ ὁποῖοι λαβόντες αὐτὰ εὐλαβῶς καὶ πολυτελῶς τὰ ἐνεταφίασαν.

Εἰς δόξαν Πατρός, Υἱοῦ καὶ Ἁγίου Πνεύματος, μετὰ τοῦ Ἁγίου Εὐσταθίου καὶ πάντων τῶν Ἁγίων. Ἀμήν.

Τὴν μεγάλην καὶ φιλόσοφον ψυχὴν τοῦ Ἁγίου Εὐσταθίου, οὐδὲν τῶν ἐν τῷ παρόντι βίῳ λυπηρῶν δύναται δοκεῖν. «Τὸν γὰρ Χριστιανόν, καὶ ἐν τούτῳ τῶν ἀπίστων διαφέρειν χρή». Ἰωάννης ὁ Χρυσόστομος.

---

Ἐγράφη ἡ ὁμιλία αὐτη παρὰ τοῦ Αἰδεσιμωτάτου



ΓΕΩΡΓΙΟΥ Α. ΒΟΥΓΕΡΗ Ἱερέως καὶ ἐφημερίου τοῦ Ἱεροῦ Ναοῦ Ὁσίου Μελετίου κατὰ μῆνα Νοέμβριον τοῦ ἔτους 1924 νὰ ἀναγινώσκεται ἀντὶ τοῦ Κοινωνικοῦ πρὸς δόξαν τοῦ Ἁγίου καὶ πρὸς ὠφέλειαν τῶν ἀκουόντων εὐλαβῶν Χριστιανῶν.

Ἀπολυτίκιον τοῦ Ἱεροῦ Ναοῦ τῆς Μεταμορφώσεως τοῦ Σωτῆρος. Ἀπολ. ἦχος βαρύς.

Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου καθὼς ἠδύναντο· Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου Φωτοδότα δόξα σοι.

Κοντάκιον. Ἦχος βαρύς.

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σου Χριστὲ ὁ Θεὸς ἐθεάσαντο, ἵνα ὅταν σὲ ἴδωσι σταυρούμενον τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

Μεγαλυνάριον.

Τὴν τῶν Ἀποστόλων καὶ Μαθητῶν ἀκρότητα Σῶτερ, συμπαρέλαβες ἐν Θαβὼρ, καὶ ἔμπροσθεν τούτων λαμπρῶς μετεμορφώθης, ἀκτῶν καταυγάζων αὐτοὺς δυνάμεως.

17 Δ)βρίου Ἁγ. Διονυσίου Αἰγίνης. Ἦχ. Α΄. Ἀπόλ.

Τῆς Ζακύνθου τὸν γόνον καὶ Αἰγίνης τὸν Πρόεδρον, τὸν φρουρὸν Μονῆς τῶν Στροφάδων, Διονύσιον ἅπαντες τιμήσωμεν συμφώνως οἱ πι-

στοί, βοῶντες πρὸς αὐτὸν εἰλικρινῶς, ταῖς λιταις τοὺς τὴν σὴν μνήμην ἐπιτελοῦντας σῶζε καὶ βοῶντας σοι· δόξα τῷ σε δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ δωρησαμένῳ σε ἡμῖν πρέσβυν ἀκοίμητον.

Κοντάκιον. Ἦχος Γ'. Ἡ Παρθένος σήμερον.

Ἑορτάζει σήμερον τῶν Ζακυνθίων ἡ πόλις ἑορτὴν χαρμόσυνον, σὺν τῇ Μονῇ τῶν Στροφάδων, Αἰγίνην τὴν ἐν Κυκλάσι προσκαλουμένην, ᾄσμασι ἀξιοχρέως συνευφημῆσαι, καὶ φαιδρῶς πανηγυρίσαι, τὸ κοινὸν κλέος νῦν Διονύσιον.

Μεγαλυνάριον.

Χαίροις ὁ τῆς Ζακύνθου γόνος λαμπρὸς Πρόεδρος Αἰγίνης καὶ Στροφάδων, μέγας φρουρός, χαίροις Ἐκκλησίας φωστὴρ νέος τρισμάκαρ, Ἀρχιερέων κλέος ὦ Διονύσιε.

Ἱερὸς Ναὸς Μεταμορφώσεως τοῦ Σωτῆρος Κυψέλης, πανηγυρίζει τὴν μνήμην του 1892.

27 Αὐγούστου. Τοῦ Ἁγίου μεγαλομάρτυρος Φανουρίου. Ἀπολ. Ἦχος Δ' 1500.

Οὐράνιον ἀφύμνιον ἐν γῇ τελεῖται λαμπρῶς, ἐπίγειον πανήγυριν νῦν ἑορτάζει φαιδρῶς, Ἀγγέλων πολύτιμος ἄνωθεν ὑμνῳδίαις εὐφημοῦσι τοὺς ἄθλους, κάτωθεν Ἐκκλησία, τὴν οὐράνιον δόξαν, ἣν εὗρες πόνοις καὶ ἄθλοις τοῖς σοῖς, Φανούριε ἔνδοξε.

Κοντάκιον. Ἦχος Γ'. Ἡ Παρθένος σήμερον.

Ἱερεῖς διέσωσας αἰχμαλωσίας ἀθέων, καὶ δε-



σμὰ συνέθλασας, δυνάμει θείᾳ θεόφρων ἤσχυνας τυράννων θράσος γενναιοφρόνως ηὔφρανας Ἀγγέλων τάξεις Μεγαλομάρτυς, διὰ τοῦτο σὲ τιμῶμεν, θεῖε ὁπλῖτα Φανούριε ἔνδοξε.

Μεγαλυνάριον.

Χαίροις τῶν Μαρτύρων ἡ καλλονή, χαίροις τῶν θαυμάτων ὁ ἀκένωτος θησαυρός, χαίροις αἰχμαλώτων ὁ μύστης καὶ προστάτης, Φανούριε τρισμάκαρ, Ροδίων καύχημα.

18 Ἰανουαρίου. Ἁγίων Πατέρων Ἀθανασίου καὶ Κυρίλλου. Ἀπολ. Ἦχ. Α'.

Τοὺς Ἱεράρχας Κυρίου ὀρθῶν δογμάτων ἐκφάντορας τοὺς Ἀλεξανδρέων ποιμένας, τῆς ἀληθείας τοὺς κήρυκας πεφιλημένην τῷ Θεῷ ξυνωρίδα, τοὺς λαμπροὺς φωστῆρας, τῶν ἀσεβῶν τὸ σκότος ἀποσοβήσαντας, Ἀθανάσιον τὸν μέγαν, τῶν αἱρετιζόντων τὸ θέριστρον, σὺν τῷ Κυρίλλῳ, τῷ πάνυ Θεοτόκου εὐσεβήσαντι πάντες σὺν συνελθόντες φαιδρῶς ὕμνοις τιμήσωμεν, αὐτοὶ γὰρ τῇ Τριάδι ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσι.

Κοντάκιον. Ἦχος Δ'. Ἡ Παρθένος σήμερον.

Ἱεράρχαι μέγιστοι τῆς εὐσεβείας καὶ γενναῖοι πρόμαχοι τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, πάντας φρουρεῖτε τοὺς ψάλλοντας· σῶσον οἰκτίρμων τοὺς πίστει τιμῶντας σε.

Μεγαλυνάριον.

Πῦρ ὁ Ἀθανάσιος νοητόν, ὤφθη φλέγον ὕλην

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ

τῶν δυσθέων αἱρέσεων. Κύριλλος δὲ ὕδωρ δογμάτων χέων δρόσον τὰ μυστικὰ στοιχεῖα, πίστεως μέλψωμεν.

'Ακολουθία τοῦ 'Αγίου Κωνσταντινούπολις 1890.

11 'Απριλίου. Τοῦ 'Αγίου 'Ιερομάρτ. 'Αντίπα 'Επισκ. Σμύρνης. 'Απολ. Ἦχ. Α'.

Μυροβλήτην τὸν θεῖον, καὶ Μαρτύρων τὸν σύναθλον, τὸν πανευκλεῆ 'Ιεράρχην καὶ Περγάμου τὸν πρόεδρον, τιμήσωμεν 'Αντίπαν οἱ πιστοὶ ὡς τάχιστον καὶ μέγαν ἰατρόν, τῆς δεινῆς ὀδόντων νόσου, καὶ πρὸς αὐτὸν ἀπὸ ψυχῆς βοήσωμεν, δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Κοντάκιον. Ἦχ. Γ'. Ἡ Παρθένος σήμερον.

Θείαν χάριν εἴληφας παρὰ Χριστοῦ 'Ιεράρχα, θεραπεύειν ἅπασαν τὴν τῶν ὀδόντων ὀδύνην, ὅθεν μοι, τῷ σῷ οἰκέτι ταύτης μετάδος, πάσχοντι καὶ κεκμηκότι, τοῖς ἀλγηδόσιν, ἵνα κράζω σεσωσμένος χαίροις 'Αντίπα, πιστῶν ἀγαλλίαμα.

Μεγαλυνάριον.

Ὁ Περγάμου πρόεδρος καὶ φρουρὸς, καὶ τῆς εὐσεβείας θεορρήμων ὑφηγητής, ὁ τῶν 'Αποστόλων ὁμόχρονος καὶ σύμπνους, τιμήσθω μοι 'Αντίπα ὁ ἱερόαθλος.

23 'Απριλίου. Τοῦ 'Αγίου Μεγαλομάρτυρος Γεωργίου. 'Απολ Ἦχ. Δ'.

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτὴς καὶ τῶν



πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρὸς βασιλέων ὑπέρμαχος, τροπαιοφόρε μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος Β'.

Προστάτην σε θερμόν, καὶ τεῖχος ἀπρόσμαχον, πλουτοῦντες ἀεὶ οἱ σοὶ προσπελάζοντες, γοερῶς ἐκβοῶμεν σοι. Πανσέβαστε Γεώργιε πρόφθασον, καὶ ἐκ παθῶν ἡμᾶς καὶ θλίψεων ἀπάλλαξον, τῆς θείας πρὸς τὸν Σωτῆρα πρεσβεύσεώς σου.

Μεγαλυνάριον.

'Ανάκτων ὑπέρμαχον καὶ πτωχῶν, πλεόντων σωτῆρα, ἀσθενούντων τε ἰατρόν, αἰχμαλώτων ῥύστην, καὶ ὀρφανῶν προστάτην, κεκτήμεθά σε πάντες Μάρτυς Γεώργιε.

27 Δεκεμβρίου. Τοῦ 'Αγίου Πρωτομάρτυρος καὶ 'Αρχιδιακόνου Στεφάνου. 'Απ. Ἦχος Α'.

Τῶν 'Εβραίων τὴν πλάνην εὐθαρσῶς ἀπελέγξαντα τὸν 'Αρχιδιάκονον πάντες εὐφημοῦσι σε Στέφανε, τὸν δόξῃ θεασάμενον λαμπρῶς Τριάδα τὴν ἁγίαν καὶ σεπτὴν ὅτι τοῖς βασάνοις τῶν ἀνόμων ὑπέφερες, δόξα τῷ εὐδοκήσαντι ἐν σοί, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἀναδείξαντι λαμπρῶς ἐν Μάρτυσι.

Κοντάκιον. Ἦχος Γ'. Ἡ Παρθένος σήμερον.

Ὁ Δεσπότης χθὲς ἡμῖν, διὰ σαρκὸς ἐπεδήμει, καὶ ὁ δοῦλος σήμερον, ἀπὸ σαρκὸς ἐξεδήμει· χθὲς μὲν γὰρ ὁ βασιλεύων σαρκὶ ἐτέχθη, σήμε-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ρον δὲ ἱκέτης λιθοβολεῖται δι' αὐτόν, καὶ τελειοῦται ὁ Πρωτομάρτυς καὶ θεῖος Στέφανος.

Μεγαλυνάριον.

Πρῶτος τὸ ποτήριον ἔπιες, ὁ πιὼν μετέδω ὁ Θεάνθρωπος μιμηταῖς, ὃν ἀθλῶν ἐν λίθοις, ἐν δεξιᾷ Πατρῶον, βλέπεις μηνύοντα σου τὰ ἆθλα Στέφανε.

16 Αὐγούστου. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γερασίμου Κεφαλληνίας. Ἀπολ. Ἦχος Α΄.

Τῶν πιστῶν σε προστάτην καὶ ταχὺ ἀντιλήπτορα Ὁσιώτατε Πάτερ Θεοφόρε Γεράσιμε, ἀνέδειξε Θεὸς ἐπὶ τῆς γῆς, ὁ πάντων τῶν ὄντων κηδεμών· θεραπεύεις γὰρ σωμάτων, καὶ τῶν ψυχῶν τὰ πάθη τῇ σῇ χάριτι. Δόξα τῷ σὲ δοξάσαντι λαμπρῶς, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Κοντάκιον. Ἦχος Πλ. Δ΄. Τῇ ὑπερμάχῳ.

Ὡς ἀντιλήπτωρ καὶ θερμὸς προστάτης ἔνδοξε, ἀεὶ προφθάνεις βοηθός, ἐν περιστάσεσι. Διὸ ᾄσμασι Γεράσιμε Θεοφόρε εὐφημοῦμεν σε πιστῶς καὶ ἐπιγράφομεν, τῆς σῆς νήσου, τὸν προστάτην συμπαθέστατον, ἀνακράζοντες, χαίροις Πάτερ ἀοίδιμε.

Μεγαλυνάριον.

Τῆς Πελοποννήσου θεῖος βλαστός, καὶ Κεφαλληνίας ὁ ἀσύλητος θησαυρός, καὶ πάσης Ἑλλάδος τὸ καύχημα τὸ μέγα Γεράσιμε Θεόφρων, σκέπε τοὺς δούλους σου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Ἀκολουθία Ἁγίου Γερασίμου. Πάτραι 1870.

28 Αὐγούστου. Ἁγίου Διονυσίου Ἀρχ. Αἰγίνης. Ἀνακομιδὴ Ἁγίων Λειψάνων. Ἀπολ. Ἦχος Α΄.

Δεῦτε πάντες ἐγκωμίων καταστέψωμεν ᾄσμασι, τὴν τοῦ πανιέρου Λειψάνου Διονυσίου τοῦ μάκαρος, μετάθεσιν καὶ γὰρ παρὰ Θεοῦ ἠξίωται μεγάλων δωρεῶν· τοῖς αἰτοῦσι τοῦ βραβείου, ἰατρείας ψυχῶν καὶ σωμάτων τε· ὅθεν δόξαν προσείσωμεν Θεῷ, καὶ ὕμνον ἀναπέμψωμεν· τῷ ἡμῶν δεδωκότι, φρουρὸν αὐτόν τε καὶ πρύτανιν.

Κοντάκιον. Ἦχος Δ΄. Ἐπεφάνης σήμερον.

Ἑορτάζει σήμερον νῆσος Ζακύνθου, καὶ γεραίρει ᾄσμασι, τὴν σεβασμίαν ἑορτήν, τοῦ σοῦ Λειψάνου ἐπάνοδον, ὦ Ἱεράρχα σοφὲ Διονύσιε.

Μεγαλυνάριον.

Χαῖρε σελασφόρε θεῖε φωστήρ, ὁ φωτί σου στίλβων τὸν ὁρίζοντα εὐσεβῶς, χαίροις ὁ σοῦ σκήνους θαύμασι καταρδεύων, τὴν Ἐκκλησίαν πᾶσαν ὦ Διονύσιε.

1901. 24 Αὐγούστου ἡμέραν Παρασκευήν, ἔλαβον μέρος εἰς τελετὴν ἐν Ζακύνθῳ.

ΓΕΩΡΙΓΟΣ Α. ΒΟΥΤΕΡΗΣ Ἱερεύς

ΤΕΛΟΣ

## ΕΥΡΙΣΚΟΝΤΑΙ ΠΑΡ' ΗΜΙΝ ΑΙ ΙΕΡΑΙ ΑΚΟΛΟΥΘΙΑΙ

Τῆς Λαμπρᾶς καὶ ἐνδόξου Μεταμορφώσεως
Τῆς Παναγίας Μυρτιδιωτίσσης Κυθήρων
Τοῦ Ἁγίου Διονυσίου Ἀρχ. Αἰγίνης Ζακύνθου
Τοῦ Ἁγίου ἐνδόξου καὶ Εὐαγγελιστοῦ Λουκᾶ
Τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Τρύφωνος
Τοῦ Ἁγίου ἐνδόξου Νεομ. Κωνσταντίνου Ὕδρας
Τῆς Ἁγίας ἐνδόξου Μεγ. Φωτεινῆς τῆς Σαμαρείτιδος
Τῆς Ἁγίας ἐνδόξου Μεγαλομ. καὶ Ἰσαποστόλου Μαγδαληνῆς καὶ Ἁγίας Μαρκέλλης
Τοῦ ἁγίου Μεγαλομάρτυρος Εὐσταθίου.
Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Μελετίου.
Τοῦ Ἁγίου Ἱερομάρτυρος Πολυκάρπου ἐπ. Σμύρνης
Τῆς Ἁγίας Μητρὸς ἡμῶν Φιλοθέης Ἀθηνῶν
Τοῦ Ἁγίου Ἱερομ. Διονυσίου τοῦ Ἀρεοπαγίτου
Βίοι ὁμοῦ Ἁγίων Ἀναργύρων καὶ Παρακλ. καὶ Βίος τῶν Ἁγίων Ἀναργύρων 1 καὶ 2 Νοεμβρίου ἡ Ἑορτή των.
Ἱεραὶ Καταβασίαι καὶ Μεγαλυνάρια ὅλου τοῦ ἔτους.
Καὶ ἄλλων διαφόρων Ἁγίων, Ἀκολ. καὶ Βίοι αὐτῶν.
Ἀκολουθίαι. Τὸ Ἄξιον ἐστὶν τῆς Θεοτόκου.
Τῆς Ἁγίας Παρασκευῆς 26 Ἰουλίου
Τοῦ Ἁγίου Γεωργίου τοῦ ἐξ Ἰωαννίνων
Τοῦ Ἁγίου Φανουρίου τοῦ Νεοφανοῦς
Τῆς Ἁγίας Μεγαλομάρτυρος Κυριακῆς.
Τοῦ Ἁγίου Ἱερομάρτ. Βλασίου.
Τοῦ Ἁγίου Ἰωάννου Μητροπολ. Θηβῶν.
Καὶ μικρὰ φυλλάδια τῆς Μεταλήψεως, τῶν χαιρετισμῶν τῆς Θεοτόκου. Νεκρώσιμος Ἀκολουθία, Ἀκολουθία τῆς Ἱερᾶς Παρακλήσεως, τὰ Ἄνθη τοῦ Παραδείσου ὑπὸ Χαρίτωνος Μοναχοῦ.

**Εὑρίσκονται** παρὰ τῷ Αἰδεσιμωτάτῳ Γεωργίῳ Α. Βουτέρῃ Ἱερεῖ, Ἐφημερίῳ Ὁσίου Μελετίου, Οἰκία του Ὁδὸς Ἁγίου Μελετίου Ἀριθ. 25. Τρὰμ Ἀχαρνῶν - Τέρμα.